## I.

Μηνὶ ἰουνίῳ κγ΄ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Μάρκου ἀρχιεπισκόπου Ἐφέσου καὶ νέου θεολόγου. Ποίημα τοῦ ἀδελφοῦ αὐτοῦ Ἰωάννου τοῦ νομοφύλακος.

Προσόμοια. ἦχου δ΄· Ὁ ἐξ ὑψίστου.

Ὁ ἐκ κοιλίας μητρὸς πεφωτισμένος,
ὅτε τὸ ἐπίκηρον
τῶν κοσμικῶν ἡδονῶν
καὶ τὸ σαθρόν τε καὶ μάταιον
νουνεχῶς ἔγνως,
τότε μισήσας κόσμον καὶ ἅπαντα
τερπνὰ καὶ εὐφρόσυνα
τούτου, προσέδραμες
τῷ θείῳ σχήματι, θέμενος
τρυφὴν τοὺς πόνους,
τὴν ἀγρυπνίαν χαρὰν καὶ ἄνεσιν,
τὴν χαμευνίαν
καὶ τὴν πάννυχον στάσιν ὄντως τερπνὴν ἀγαλλίασιν,
ἡδονὴν τὴν νηστείαν,
εὐφροσύνην τὴν ἐγκράτειαν.
Τῆς ἐκκλησίας ὁ ὕστατος κοσμήτωρ,
σάλπιγξ μεγαλόφωνος,
βροντὴ θεόκροτος,
τῆς εὐσεβείας διδάσκαλος,
τῆς ἀκριβείας
τῶν ἱερῶν δογμάτων τῆς πίστεως
γνώμων ὁ εὐθύτατος,
ὁ τὴν τοῦ πνεύματος
τοῦ παναγίου ἐκπόρευσιν
ὡς ὁ δεσπότης

5. Litteram Ὁ om. I; item omnes alias primas litteras initio tropariorum omisit rubricator, quod semel monuisse satis erit.

9. Cf. Ps. 18 (19), 5.